56. Ἐπαίτης ᾔτησε Λάκωνα· ‘ἀλλ᾽ εἰ δοίην σοι’ ἔφη
‘μᾶλλον πτωχεύσεις, τῆς δ᾽ ἀσχημοσύνης σου ταύτης ὁ
E πρῶτος μεταδοὺς αἴτιος, ἀργόν σε ποιήσας.’

57. Λάκων ἰδὼν ἀγείροντά τινα θεοῖς ‘οὐδέν’ εἶπε ‘φροντίζειν θεῶν πτωχοτέρων ἑαυτοῦ.’

58. Λαβών τις μοιχὸν ἐπ᾽ αἰσχρᾷ γυναικί ‘ἄθλιε’ εἶπε ‘τίς τοι ἀνάγκα;’

59. Ἄλλος ἀκούων ῥήτορος μεγάλας στρέφοντος περιόδους, ‘ἀλλὰ νὴ τὼ σιώ’ εἶπεν ‘ἀνδρεῖός γε ὁ ἄνθρωπος, ⟨ὃς⟩ πρὸς οὐδὲν ὑποκείμενον εὖ στροβιλοῖ τὰν γλῶσσαν.’

60. Εἰς Λακεδαίμονα παραγενόμενός τις καὶ τὴν πρὸς τοὺς πρεσβύτας τῶν νέων τιμὴν θεασάμενος, ‘ἐν Σπάρτῃ μόνῃ’ εἶπε ‘λυσιτελεῖ γηράσκειν.’

61. Ἐρωτηθεὶς Λάκων ὁποῖός ἐστι Τυρταῖος ὁ ποιη-
F τής, ‘ἀγαθός’ εἶπε ‘κακκονῆν νέων ψυχάς.’

62. Ἕτερος ἀλγῶν τοὺς ὀφθαλμοὺς ἐξῄει ἐπὶ πόλεμον· λεγόντων δ᾽ αὐτῷ τινων ‘ποῖ ἄπει οὕτως ἔχων ἢ τί ποιήσων;’ ‘κἂν μηδὲν ἕτερον πράξω’ ἔφη ‘πολεμίου γε μάχαιραν ἀμβλυνῶ.’

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id403549256/207 UNIVERSITÄT LEIPZIG